Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Fragmenta veterum poëtarum Graecorum

https://hdl.handle.net/1874/379826

3

Aevum vetus.
Scriptores graeci.
N°. 19

Kast I
Pl. 8 N:3

24 (*Gr. 19*) *Charta. 4°. 50 pp. Saec. XVIII.*

**Fragmenta** veterum Graecorum cura et studio Jos. Scaligeri, cum ejusdem emendationibus.

„Descripsi ex adversariis ejus mss. in Biblioth. L. Bat. R. M. van Goens."

Hs.
1 E 3

# FRAGMENTA

# Veterum Poëtarum

# Græcorum

cura & studio

# JOSEPHI SCALIGERI

cum ejusdem emendationibus

Descripsi
ex ADVERSARIIS ejus MSS.
in Biblioth. L. Bat.

R. M. van Goens.

v. Animadv. ad Porphyr.
de Antro Nymph. Cap.
VIII. p. 96. A. B.

ACADEMIA RHENO TRAIECTINA

Numisma Selinuntiorum in quo Empedocles effigies creditur apud Beger. Thes. Brandeb. Tom. 1. p. 372.

# ἘΜΠΕΔΟΚΛΕΟΥΣ

## ἘΠΗ.

Ex Simplicio. ἐν τῷ δευτέρῳ φυσικῶν.

νῦν δ' ἄγ' ὅσους ἀνδρῶν τε πολυκλαύτων τε γυναικῶν
ἐννυχίους ὅρπηκας ἀνήγαγε κρινόμενον πῦρ,
τῶνδε κλύ'. οὐ γὰρ μῦθος ἀπόσκοπος, οὐδ' ἀδαήμων.
οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον.
ἀμφοτέρων ὕδατός τε καὶ εἴδεος αἶσαν ἔχοντες.
τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὅμοιον ἱκέσθαι
οὔτε τύπων μελέων ἐρατὸν δέμας ἐμφαίνοντας
οὔτ' ἐνοπήν, οὔτ' αὖ ἐπιχώριον ἀνδράσι γῆρυν.

Ex Aeliano.

πολλὰ μὲν ἀμφίστερνα καὶ ἀμφιπρόσωπα φύεσθαι
βουγενῆ ἀνδρόπρωρα. τὰ δ' ἔμπαλιν ἐξαναδύνειν
ἀνδροφυῆ, βούκρανα, μεμιγμένα τῇ μὲν ὑπ' ἀνδρῶν, ἐλλειν
τῇ δὲ γυναικοφυῆ σκιεροῖς ἠσκημένα γυίοις.

Ex Aristotele et Simplicio. ἐν πρώτῳ τῶν φυσικῶν.

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐτύκτοις χοάνοισι
τὰς δύο τῶν ὀκτὼ μερέων λάχε νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο, τὰ δ' ὀστέα λευκὰ γένοντο
ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν

2.

Ex Simplicio.

δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων. τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι.
δοιὴ δὲ θνητῶν γένεσις, δοιὴ δ' ἀπόλειψις.
τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀλέκει τε.
ἡ δὲ πάλιν διαφυομένων θρυφθεῖσα διέπτη.
καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει.
ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχα πάντα φορούμενα νείκεος ἔχθει.
ἧ δὲ πάλιν διαφύντος ἑνὸς πλέον ἐκτελέθουσι
τῇ μὲν γίγνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών
ἧ δὲ διαλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει.
ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον.
ἀλλ' ἄγε μύθων κλῦθι: μάθη γάρ τοι φρένας αὔξει.
ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων, πείρατα μύθων
δίπλ' ἐρέω. τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι.
πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ ἠέρος ἄπλετον ὕψος,
νεῖκός τ' οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ,
καὶ φιλότης μετὰ τοῖσιν ἴση μῆκός τε πλάτος τε.
τὴν σὺ νόῳ δέρκου, μηδ' ὄμμασιν ἧσο τεθηπώς.
ἥτις καὶ θνητοῖσι νομίζεται ἔμφυτος ἄρθροις.
τῇ τε φίλα φρονέουσι καὶ ἄρθμια ἔργα τελοῦσι.
Γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην.
τὴν οὔ τις μετ' ὅσσοισιν ἑλισσομένην δεδάηκε.

θνητὸς ἀνήρ. σὺ δ' ἄκουε λόγων στόλον οὐκ ἀπατηλόν. 3/
ταῦτα γὰρ ἶσά τε πάντα καὶ ἥλικα γένναν ἔασι.
τιμῆς δ' ἄλλης ἄλλο μέδει. παρὰ δ' ἦθος ἑκάστῳ,
ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο.
καὶ πρὸς τοῖς οὔτ' ἄρ ἐπιγίνετ', οὔτ' ἀπολήγει.
εἴτε γὰρ ἐφθείροντο διαμπερές, οὐκέτ' ἂν ἦσαν
τοῦτο δ' ἐπαυξήσειε τὸ πᾶν τί κε καὶ πόθεν ἐλθόν.
πῆ δέ κε καὶ ἀπόλοιτο. ἐπεὶ τῶν δ' οὐδὲν ἔρημον.
ἀλλ' αὔτ' ἐστὶν ταῦτα. δι' ἀλλήλων δὲ θέοντα
γίνεται ἄλλοτε ἄλλα διηνεκὲς αἰὲν ὁμοῖα.

Ex Eodem.

ἀλλ' ἄγε τῶν δ' ὀάρων προτέρων ἐπιμάρτυρα δέρκευ
εἴ τι καὶ ἐν προτέροισι λιπόξυλον ἔπλετο μορφῇ.
ἠέλιον μὲν θερμὸν ὁρᾶν καὶ λαμπρὸν ἁπάντῃ.
ἄμβροτα δ' ὅσσα ἔδειτο καὶ ἀργέτι δεύεται αὐγῇ.
ὄμβρον δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέοντε.
ἐκ δ' αἴης προρέουσι θελεμνά τε καὶ στεροπῆτε.
ἐν δὲ κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται
σὺν δ' ἔβη ἐν φιλότητι καὶ ἀλλήλοισι ποθεῖται.
ἐκ τούτων γὰρ πάνθ' ἦν, ὅσσα τέ ἐστι καὶ ἔσται
δένδρα τε βεβλάστηκε καὶ ἀνέρες, ἠδὲ γυναῖκες
θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς,
καί τε θεοὶ δολιχαίωνες τιμῇσι φέριστοι.
αὐτὰ γὰρ ἐστι ταῦτα. δι' ἀλλήλων δὲ θέοντα
γίνεται ἀλλοιωπά. τὰ γὰρ διάκρισις ἀμείβει.

Ex Eodem.

ὡς δ' ὁπόταν γραφέες ἀναθήματα ποικίλλωσιν
ἀνέρες ἀμφὶ τέχνης ὑπὸ μήτιος εὖ δεδαῶτες

4/ οἵ γ᾽ ὡδή σοῦ μάρψωσι πολύχροα φάρμακα χερσίν
ἁρμονίῃ μείξαντε τὰ μὲν πλέω, ἄλλα δ᾽ ἐλάσσω,
ἐκ τῶν εἴδεα πᾶσ᾽ ἐναλίγκια πορσύνουσι
δένδρεά τε κτίζουσι, καὶ ἀνέρας ἠδὲ γυναῖκας,
θῆράς τ᾽ οἰωνούς τε καὶ ὑδατοθρέμμονας ἰχθῦς,
καί τε θεοὺς δολιχαίωνας τιμῇσι φερίστους.
ω ὅτω μή σ᾽ ἀπάτα φρένας, ὥς νυκεν ἄλλοθεν εἶναι
θνητῶν, ὅσσα γε δῆλα γεγάασιν ἄσπετα, πηγήν
ἀλλὰ τορῶς ταῦτ᾽ ἴσθι θεοῦ πάρα μῦθον ἀκούσας

Ex Eodem.

ἄρτια μὲν γὰρ ταῦτα ἑαυτῶν πάντα μέρεσσιν
ἠλέκτωρ τε, χθών τε καὶ οὐρανὸς ἠδὲ θάλασσα,
ὅσσα φιν ἐν θνητοῖσιν ἀποπλαχθέντα πέφυκεν.
ὡς δ᾽ αὔτως ὅσα κρᾶσιν ἐπαρκέα μᾶλλον ἔασιν,
ἀλλήλοις ἔστερκται ὁμοιωθέντ᾽ ἀφραδίτῃ.
ἔχθρα πλεῖστον ἀπ᾽ ἀλλήλων διέχουσι μάλιστα
γέννῃ τε κράσει τε, καὶ εἴδεσιν ἐκμάκτοισιν
πάντῃ συγγίνεσθαι ἀήθεα καὶ μάλα λυγρά.
νείκεα γεννέσῃσιν, ὅτι σφισὶ γέννας ὀργᾷ.

γεννήταισιν.

Ex Eodem.

—ἐπεὶ νεῖκος μὲν ἐνέρτατον ἵκετο βένθος
δίνης, ἐν δὲ μέσῃ φιλότης στροφάλιγγι γένηται,
ἐν τῇ δὴ τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι
οὐκ ἄφαρ. ἀλλὰ θέλημα συνιστάμεν᾽ ἄλλοθεν ἄλλο.

τῶν δέ τε μισγομένων, χεῖτ' ἔθνεα μυρία θνητῶν.
πολλὰ δ' ἄμικτ' ἔστηκε κεραιομένοισιν ἐναλλάξ.
ὅσσα ἔτι νεῖκος ἔρυκε μετάρσιον. οὐ γὰρ ἀμεμφέως
πω πᾶν ἐξέστηκεν ἐπ' ἔσχατα τέρματα κύκλου.
ἀλλὰ τὰ μὲν γ' ἐνέμιμνε μελέων, τὰ δέ γ' ἐξεβεβήκει.
ὅσσον δ' αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπῄει.
ἠπιόφρων φιλότητος ἀμεμφέος ἄμβροτος ὁρμή
αἶψα δὲ θνητ' ἐφύοντο τὰ, πρὶν μάθον ἀθάνατ' εἶναι,
ζωρὰ δὲ τὰ πρὶν ἄκρητα διαλλάξαντα κελεύθοις
τῶν δέ τε μισγομένων, χεῖτ' ἔθνεα μυρία θνητῶν
παντοίαις ἰδέαισιν ἀρηρότα θαῦμα ἰδέσθαι.

Ex Eodem.

ἡ δὲ χθὼν τούτοισιν ἴση συνέκυρσε μάλιστα
ἡφαίστῳ τ' ὄμβρῳ τε καὶ αἰθέρι παμφανόωντι
κύπριδος ὁρμισθεῖσα τελείοις ἐν λιμένεσσιν,
εἴτ' ὀλίγον μεῖζον, εἴτε πλέον ἐστὶν ἔλασσον
ἐκ τῶν αἷμά τ' ἐγένοντο καὶ ἄλλης εἴδεα σαρκός

Ex Sexto Philosopho.

στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται
πολλὰ δὲ δήν' ἔπειτα, τάγ' ἀμβλαύνουσι μερίμνας ζωῆς ἢ βίου
παῦρον δὲ ζωῆσι βίου μέρος ἀθρήσαντες
ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν
αὐτὸ μόνον πεισθέντες ὅτῳ προσέκυρσεν ἕκαστος
πάντος ἐλαυνόμενοι. τὸ δὲ ὅλον εὔχεται εὑρεῖν. λώϊον.

οὕτως οὔτ' ἄλλοι δέρκηται τάδ' ἀνδράσιν, οὔτ' ἐπακουστά
οὐδὲ νόῳ περιληπτά. σὺ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης,
πεύσεαι. οὐ πλεῖόν γε βροτείη μῆτις ὄρωρε.

Ex Eodem.

ἀλλὰ θεοί, τῶν μὲν μανίην ἀπετρέψατε γλώσσης,
ἐκ δ' ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν.
καί σε πολυμνήστη λευκώλενε παρθένε Μοῦσα
ἄντομαι ὧν θέμις ἐστὶν ἐφημερίοισιν ἀκούειν
πέμπε παρ' Εὐσεβίης ἐλάουσ' εὐήνιον ἅρμα.
μηδέ σέ γ' εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς
πρὸς θνητῶν ἀνελέσθαι, ἐφ' ᾧ θ' ὁσίης πλέον εἰπεῖν.
ε θάρσει, καὶ τότε δὴ σοφίης ἐπ' ἄκροισι θοάζειν
ἀλλὰ γὰρ ἄθρει πάσῃ παλάμῃ πῇ δῆλον ἕκαστον,
μήτε τιν' ὄψιν ἔχων πίστει πλέον, ἢ κατ' ἀκουήν,
ἢ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης,
μήτε τι τῶν ἄλλων ὁπόσῃ πόρος ἐστὶ νοῆσαι.
γυίων πίστιν ἔρυκε, νόει θ' ᾗ δῆλον ἕκαστον.

Ex Simplicio.

τοῦτον μὲν βροτέων μελέων ἀριδείκετον ὄγκον,
ἄλλοτε δὴ φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα
γυῖα, τὰ σῶμα λέλογχε βίου θαλέθοντος ἐν ἀκμῇ.
ἄλλοτε δ' αὖτε κακῇσι διατμηθέντ' ἐρίδεσσι,
πλάζεται ἄνδιχα ἕκαστα περὶ ῥηγμῖνι βίοιο.
ὡσαύτως θάμνοισι καὶ ἰχθύσιν ὑδρομελάθροις
θηρσί γ' ὀρειμελέεσσιν, ἰδὲ πτεροβάμοσι κύμβαις.

## Ex Aristotele.

ταυτὰ τρίχες καὶ φύλλα καὶ οἰωνῶν πτερὰ πυκνά,
καὶ λεπίδες γίγνονται ἐπὶ στιβαροῖσι μέλεσσι.

## Ex Eodem.

οὕτω δ' ὠοτοκεῖ μακρὰ δένδρεα πρῶτον ἐλαίης.

## Ex Plutarcho.

ἔστιν ἀνάγκης χρῆμα θεῶν ψήφισμα παλαιὸν ὁ
ἀΐδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις
εὖτέ τις ἀμπλακίῃσι φόβῳ φίλα γυῖα μιήνῃ
δαίμονες οἵτε μακραίωνος λελόγχασι βίοιο.
τρὶς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλαλῆσθαι μυρίωρον
τὴν καὶ ἐγὼ νῦν εἶμι φυγὰς θεόθεν καὶ ἀλήτης
νείκει μαινομένῳ πίσυνος —

## Ex Eodem.

αἰθέριον γὰρ σφε μένος πόντονδε διώκει,
πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε. γαῖα δ' ἐς αὐγὰς
ἠελίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις.
ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

## Ex Aristotele.

Verba Aristotelis

τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον, τισὶ δ' οὐ δίκαιον.
ἀλλὰ τὸ μὲν πάντων νόμιμον, διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται, διά τ' ἄπλετον αὐγῆς.

## Ex Stobaei Physicis.

τέσσαρα τῶν πάντων ῥιζώματα. πρῶτον ἄκουε.
ζεὺς αἰθὴρ, ἥρη τε φερέσβιος, ἠδ' ἀϊδωνεύς.

σι/ νῆστις θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.
τῶν δὲ συνερχομένων εἰς ἔσχατον ἵστατο νεῖκος.

Ex Clemente Alexandrino.

Athen. l. VIII. p.
Urs. Virg. collat. p. 77.

ἤδη γάρ ποτ' ἐγὼ γενόμην κούρη τε κόρος τε
θάμνος τ' οἰωνός τε καὶ εἰν ἁλὶ ἔλλοπος ἰχθύς.

Ex Eodem.

κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον.

Ex Eodem.

ἐκ μὲν γὰρ ζώων ἐτίθει νεκρὰ εἴδε' ἀμείβων.

Ex Eodem.

ὢ πόποι, ὦ δειλὸν θνητῶν γένος, ὦ δυσάνολβον.
οἵων ἐξ ἐρίδων, ἔκ τε στοναχῶν ἐγένεσθε.

Ex Sexto Philosopho.

οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε
ἀλλήλους δάπτοντες ἀκηδείῃσι νόοιο;

Ex Eodem.

μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας
ὁ δὲ πορεύη — σφάζει ἐπευχόμενος μέγα νήπιος. οἱ δὲ πορεῦνται
λισσόμενοι θύοντες. ὁ δ' ἀνήκουστος ὁμοκλέων
σφάξας, ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα.
ὡς δ' αὔτως πατέρ' υἱὸς ἑλὼν, καὶ μητέρα παῖδες
θυμὸν ἀπορραίσαντε, φίλας κατὰ σάρκας ἔδουσι.

## Ex Porphyrio περὶ ἀποχῆς.

οἴμοι, ὅτ' οὐ πρόσθεν με διώλεσε νηλεὲς ἦμαρ,
πρὶν σχέτλι' ἔργα βορᾶς περὶ χείλεσι μητίσασθαι.

## Ex Eodem

οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς, οὐδὲ Κυδοιμός,
οὐδὲ Ζεὺς βασιλεὺς, οὐδ' ὁ Κρόνος, οὐδ' ὁ Ποσειδῶν
ἀλλὰ Κύπρις βασίλεια. —
τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο
γραπτοῖς τε ζώοισι, μύροισί τε δαιδαλεόσμοις
σμύρνης τ' ἀκράτου θυσίαις, λιβάνου τε θυώδους.
ξανθῶν τε σπονδὰς μελιτῶν ῥίπτοντες ἐς οὖδας.
ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός.
ἀλλὰ μύσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον.
θυμὸν ἀπορραίσαντας ἐεδμεναι ἠΐα γυῖα.

## Ex Stobaei Physicis.

σαρκῶν ἀλλογνῶτι περιστέλλουσα χιτῶνι.

## Ex Aristotele et Simplicio.

ἐν δὲ μέρει κρατέουσι καὶ περιπλομένοιο κύκλοιο,
καὶ φθίνει εἰς ἄλληλα καὶ αὔξεται ἐν μέρει αἴσης Cudworth I. 19.
αὐτὰ γὰρ ἐστι ταῦτα. δι' ἀλλήλων δὲ θέοντα
γίνοντ' ἄνθρωποί τε καὶ ἄλλων ἔθνεα θηρῶν
ἄλλοτε μὲν φιλότητι συνερχόμεν' εἰς ἕνα κόσμον
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορούμενα νείκεος ἔχθει,
εἰσόκεν ἓν συμφύντα τὸ πᾶν ὑπένερθε γένηται.
οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι
ᾗ δὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι.

10/ τῇ μὲν γίνονταί τε, καὶ οὔ σφισιν ἔμπεδος αἰών.
ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει.
ταύτῃ δ' αἰὲν ἔασιν ἀκινήτου κατὰ κύκλου.

Ex Aeliano.

ἐν θηρσὶ δὲ λέοντες ὀρειλεχέες χαμαιεῦναι
γίνονται. δάφναι δ' ἐνὶ δένδρεσιν ἠϋκόμοισι.

Ex Jamblicho de Vita Pythagor:

ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς
ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον
παντοίων τε μάλιστα σοφῶν ἐπιήρανος ἔργων.
ὁππότε γὰρ πάσῃσιν ὀρέξαιτο πραπίδεσσιν
ῥεῖά γε τῶν ὄντων πάντων λεύσσεσκεν ἕκαστον
καί τε δέκ' ἀνθρώπων καὶ τ' εἴκοσιν αἰώνεσσι

Ex Stobaei Physicis.

οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει, οὐδὲ περισσόν.

Ex Plutarcho.

οὐκ ἂν ἀνὴρ τοιαῦτα σοφὸς μαντεύσαιτο,
ὡς, ὄφρα μέν τε βιῶσι, τὸ δὴ βίοτον καλέουσι,
τόφρα μὲν οὖν εἰσί, καί σφιν πάρα δεινὰ καὶ ἐσθλά
πρὶν δὲ πάγεντε βροτοὶ καὶ λυθέντ' οὐδὲν ἄρ' εἰσί.

Ex Ammonio περὶ ἑρμηνείας.
ἐν τρίτῳ τῶν φυσικῶν.

οὔτε γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γυῖα κέκασται.
οὐ μὲν ἀπαὶ νώτων γε δύω κλάδοι ἀΐσσοισιν
οὐ πόδες, οὐ θοὰ γοῦν' οὐ μήδεα λαχνήεντα.
ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον
φροντίσι κόσμον ἅπαντα καταΐσσοισα θοῇσι.

Ex Plutarcho.

ἐν πρώτῳ τῶν φυσικῶν.

ἄλλο δέ τοι ἐρέω. φύσις οὐδέν ἐστιν ἁπάντων
θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή.
ἀλλὰ μόνον μίξις τε διάλλαξίς τε μιγέντων
ἐστί, φύσις δὲ βροτοῖς ὀνομάζεται ἀνθρώποισι.

Ex eodem.

τοῦτο μὲν ἐν κόγχαισι θαλασσονόμοις βαρυνώτοις,
καὶ μὴν κηρύκων τε λιθορρίνων τε χελωνῶν
ἔνθ' ὄψει χθόνα χρωτὸς ὑπέρτατα ναιετάουσαν

Ex eodem.

ἔνθ' οὔτ' ἠελίοιο δεδίττεται ἀγλαὸν εἶδος,
οὐδὲ μὲν οὐδ' αἴης λάσιον γένος, οὐδὲ θάλασσαν

Ex Plutarcho.

ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐγόμφωσε καὶ ἔδησε.

Ex Athenaeo.

πῶς καὶ δένδρεα μακρά, καὶ εἰνάλιοι καμασῆνες.

12

## Ex Plutarcho.

ἔνθ' ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις,
Δῆρίς θ' αἱματόεσσα, καὶ Ἁρμονίη ἱερῶπις,
Καλλιστώ τ' Αἰσχρή τε, Θόωσά τε, Δηναίη τε,
Νημερτής τ' ἐρόεσσα, μελάγκαρπός τ' Ἀσάφεια.

## Ex Eodem

ἀνταυγεῖ πρὸς Ὄλυμπον ἀταρβήτοισι προσώποις.

## Ex Eodem

οἶνος ἀπὸ φλοιοῦ πέλεται σαπὲν ἐν ξύλῳ ὕδωρ.

## Ex Eodem

ἥλιος ὀξυμελής, ἠδ' λαινα σελήνη

## Ex Eodem.

αὐτὰρ ἐχίνων
ὀξυβελεῖς χαῖται νώτοις ἐπιπεφρίκασι.

## Ex Aristotele ex Libello περὶ ἀναπνοῆς

ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ. πᾶσι λίφαιμοι
σαρκῶν σύριγγες πύματον κατὰ σῶμα τέτανται,
καί σφιν ἐπὶ στομίοις πυκνοῖς τέτρηνται ἄλοξι
ῥινῶν ἔσχατα τέρθρα διαμπερές, ὥστε φόνον μὲν
κεύθειν, αἰθέρι δ' εὐπορίαν διόδοισι τετμῆσθαι.
ἔνθεν ἔπειθ' ὁπόταν μὲν ἐπαΐξῃ τέρεν αἷμα,
αἰθὴρ παφλάζων καταβήσεται οἴδματι μάργῳ.

εὖτε δ' ἀναθρώσκῃ, πάλιν ἐκπνεῖ. ὥσπερ ὅταν παῖς (β/
κλεψύδρῃς παίζουσα δι' ὑπετέος χαλκοῖο
εὖτε μὲν αὐλοῦ πορθμὸν ἐπ' εὐειδεῖ χερὶ θεῖσα
εἰς ὕδατος βάπτῃσι τέρεν δέμας ἀργυφέοιο
οὐδέ γ' ἐς ἄγγος ἔτ' ὄμβρος ἐσέρχεται· ἀλλά μιν εἴργει
ἀέρος ὄγκος ἔσωθε πεσὼν ἐπὶ βήματα πυκνά,
εἰσόκ' ἀποστεγάσῃ πυκινὸν ῥόον. αὐτὰρ ἔπειτα
πνεύματος ἐλλείποντος ἐσέρχεται αἴσιμον ὕδωρ
ὡς δ' αὔτως ὅθ' ὕδωρ μὲν ἔχῃ κατὰ βένθεα χαλκοῦ
πορθμοῦ χωσθέντος βροτέῳ χροῒ ἠδὲ πόροιο,
αἰθὴρ δ' ἐκτὸς ἔσω λελιημένος ὄμβρον ἐρύκει,
ἀμφὶ πύλας ἰσθμοῖο δυσηχέος ἄκρα κρατύνων
εἰσόκε χειρὶ μεθῇ· τότε δ' αὖ πάλιν ἔμπαλιν ἢ πρίν
πνεύματος ἐμπίπτοντες ὑπεκθεῖ αἴσιμον ὕδωρ.
ὡς δ' αὔτως τέρεν αἷμα κλαδασσόμενον διὰ γυίων,
ὁππότε μὲν παλίνορσον ἐπαΐξειε μυχόνδε,
θάτερον εὐθὺς ῥεῦμα κατέρχεται οἴδματι θῦον.
εὖτε δ' ἀναθρώσκῃ, πάλιν ἐκπνεῖ ἶσον ὀπίσσω.

## Ex Diogene Laërtio

v. Ursini Collat. Virg. p. 70.

φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ,
πεύσῃ, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα.
παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵ τ' ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἀρούρας.

14/ καὶ πάλιν, ἤν κ' ἐθέλησθα, παλίντιτα πνεύματ' ἐπάξεις.
θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
αἴξ ῥεύματα δενδρεόθρεπτα, τά τ' ἐν θέρει ἀήσαντα.
ἄξεις δ' ἐξ ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

Ex eodem

ὦ φίλοι, οἵ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
ναίετ' ἀν' ἄκρα πόλευς, ἀγαθῶν μελεδήμονες ἔργων,
χαίρετ' ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητὸς
πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε.
ταινίαις τε περίστεπτος στέφεσιν τε θαλείης,
τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθάοντα,
ἀνδράσιν, ἠδὲ γυναιξὶ σεβίζομαι. οἱ δ' ἅμ' ἕπονται
μυρίοι, ἐξερέοντες ὅπη πρὸς κέρδος ἀταρπός,
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων
X. παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν

Ex Sexto Empyrico

ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὥσει μέγα χρῆμά τι πράσσων
εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων.

Ex Clemente Alexandrino

τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν
οὔ ποτε δειλαίων ἀχέων λωφήσετε θυμόν

Ex Eodem.

οὐκ ἔστιν πελάσασθ' οὐδ' ὀφθαλμοῖσιν ἐφικτὸν
ἡμετέροις, ἢ χερσὶ λαβεῖν. ᾗπέρ τε μεγίστη
πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει.

Ex Eodem.

— εἰδ' ἄγε τοι λέξω πρῶθ' ἥλιον ἀρχήν
ἐξ ὧν ἐγένοντο τὰ νῦν ἐσορώμενα πάντα
γαῖά τε καὶ πόντος πολυκύμων, ἠδ' ὑγρὸς ἀήρ
Τιτὰν, ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα

Ex Plutarcho.

φῦλον ἄμουσον ἄγουσα πολυσπερέων καμενάων.

Ex Eodem.

ὀψίγονοί τε σίδαι καὶ ὑπέρφλοια μῆλα

Ex Eodem.

τῆς δάφνης χρὴ τῶν φύλλων ἀπὸ πάμπαν ἔχεσθαι

Ex Galeno in VI ἐπιδημ.

ἐν γὰρ θερμοτέρῳ τὸ κατ' ἄρρενα ἔπλετο γαίης
καὶ μέλανες διὰ τοῦτο καὶ ἀνδρωδέστεροι ἄνδρες;
καὶ λαχνήεντες μᾶλλον—

Ex Plutarcho.

τέρματα θηρείων μελέων μυκτῆρσιν ἐρευνῶν

Ex Eodem.

ἣ θέμις . . . . . . καλοῦσιν. ὅμως ἐπίφημι καὶ αὐτός

Ex Diogene Laertio.

Παυσανία σὺ δὲ κλῦθι δαΐφρονος Ἀγχίτου υἱέ.

Ex Clemente Alexandrino.

εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ
καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται.
ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῇσι φέριστοι.

Ex Eodem

ὦ φίλοι, οἶδα μενοῦν, ὅτ' ἀληθείη πάρα μύθοις,
οὓς ἐγὼ ἐξερέω. μάλα δ' ἀργαλέη γε τέτυκται
ἀνδράσι καὶ δύσζηλος ἐπὶ φρένα πίστιος ὁρμή.

Ex Eodem.

ἀλλὰ κακοῖς μὲν κάρτα πέλει κρατέουσιν ἀπιστεῖν,
ὡς δὲ παρ' ἡμετέρης κέλεται πιστώματα μούσης
γνῶθι διατμηθέντος ἐνὶ σπλάγχνοισι λόγοιο.

Ex Eod: et Plut:

ἐξ οἵης τιμῆς τε καὶ ὅσσου μήκεος ὄλβου.

Ex Eod: Plut:

βυσσῷ δὲ γλαυκῆς... κρόκου... καταμίσγεται...
— ἀπεσκέδασε δέ οἱ αὐγάς,
ἐς τ' αἶαν καθύπερθεν, ἀπεσκνίφωσε δὲ γαίης
τόσσον, ὅσον τ' εὖρος γλαυκώπιδος ἔπλετο μήνης.

Ex Eodem.

ἅρματος ὥσπερ ἴχνος ἑλίσσεται ἦτε περὶ ἄκραν.

Ex Theophrasto.

καρπῶν ἀφθονίῃσι καλήρεα πάνθ' ἐνιαυτόν

Ex Aristotele.

ὡς πολλῶν μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν.

Ex Plutarcho

νύκτα δὲ γαῖα τίθησιν ἐφισταμένη φαέεσσιν.

Ex Eodem

νήπιοι, οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
οἳ δὴ γίνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν,
ἤτοι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἁπάντῃ

Ex Eodem

— στυγεῖ δύστλητον ἀνάγκην

Ex Eodem.

γνοὺς ὅτι πάντων εἰσὶν ἀπορροαί ὅσσ' ἐγένοντο.

Ex Aulo Gellio.

δειλοὶ πάνδειλοι κυάμων ἄπο χεῖρας ἔχεσθε.

Ex Clemente et Eusebio.

ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, ἔν τε τραπέζαις
εὖνιες ἀνδρείων ἀχέων, ἀπόκληροι, ἀτειρῆς

Ex Clemente Alex:

ὄλβιος, ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον.
δειλὸς δ' ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλε.

Ex Macrobio.

ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ πικρὸν ὄρουσεν,
ὀξὺ δ' ἐπ' ὀξὺ ἔβη, θερμὸν δ' ἐποχεύετο θερμῷ.

101

## Ex Proclo et Sexto Empirico.

γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

## Ex Eodem.

πολλὰ δ' ἔνερθ' οὔδεος πυρὰ καίεται —

## Ex Achille Statio.

κυκλοτερὲς περὶ γαῖαν ἑλίσσεται ἀλλότριον φῶς

## Ex Hephaestione

αἷς ἐπαφῇ ῥιπῇσιν ἐωσμένος ἠελίοιο

## Scholiast. Nicandri

ἦδ' ἦσαν κτίλα πάντα καὶ ἀνθρώποισι προσηνῆ,
θῆρές τ' ἄνθρωποί τε, φιλοφροσύνη τε δεδήει

## Ex Aristotele et Clem. Alex.

ὥσπερ ἀπείρονα γῆς τε βάθη, καὶ δαψιλὸς αἰθήρ,
ὡς διὰ πολλῶν δὴ γλώσσης ῥηθέντα ματαίως.
ἐκκέχυται στομάτων, ὀλίγον τοῦ παντὸς ἰδόντων

## Ex Diodoro Siculo.

ξείνων αἰδοῖοι λιμένες, κακότητος ἄπειροι.

## Ex Etymologico.

ἢ ὁ μὲν ἀλισθεὶς μέσον οὐρανὸν ἀμφιπολεύει

## Ex Stobaei Physicis

αἵματος ἀνθρώποισι τετραμμένου ἀντιθορόντος.

γῆ τε νόημα μάλιστα κικλήσκεται ἀνθρώποισιν.
αἷμα γὰρ ἀνθρώποισι περικάρδιόν ἐστι νόημα.

Ex Plutarcho.

οἳ δ' ὅτε δὴ κατὰ φῶτα μιγὲν φῶς αἰθέρι......
ἢ κατὰ θηρῶν ἀγροτέρων γένος, ἢ κατὰ θάμνων,
ἠὲ κατ' οἰωνῶν, τότε μὲν τὸ .... γενέσθαι
εὖτε δ' ἀποκριθῶσι, τάδ' αὖ δυσδαίμονα πότμον
εἶναι^ .... καλέουσιν· ὅμως δ' ἐπίφημι καὶ αὐτός ^ ὅπερ

Ex Eodem.

.... δεῖ παρ' ὃ δὴ καλόν ἐστιν ἀκοῦσαι.

Ex Aristotele.

ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον
χειμερίην διὰ νύκτα πυρὸς σέλας αἰθομένοιο
ἅψας παντοίων ἀνέμων λαμπτῆρας ἀμοργούς, ^ἀμορβούς
οἵ τ' ἀνέμων μὲν πνεῦμα σκιδνᾶσιν ἀέντων,
φῶς δ' ἔξω διαθρῶσκον ὅσον ταναώτερον ἦεν.
λάμπεσκε κατὰ βηλὸν ἀτειρέσιν ἀκτίνεσσιν
ὡς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ
λεπτῇσι χθονίῃσι λοχάζετο κυκλοπα κούρην.
αἳ δ' ὕδατος μὲν βένθος ἀπέστεγον ἀμφινάοντος.
πῦρ δ' ἔξω διαθρῶσκον ὅσον ταναώτερον ἦεν.

Ex Eodem.

πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισι.
καὶ ὅσον ἀλλοῖοι μετέφυν τόσον ἄρα σφίσιν αἰεὶ
καὶ τὸ φρονεῖν ἀλλοῖα παρίστατο —

20) Ex Aristotele et Simplicio.

ἀλλ᾽ ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη,
εἰς τιμάς τ᾽ ἀνόρουσε τελειομένοιο χρόνοιο,
ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλατο ὅρκου.

Ex Simplicio.

ἔνθ᾽ οὔτ᾽ ἠελίοιο διείδεται ὠκέα γυῖα.

Ex eodem.

ὕφει. οὕτως ἁρμονίης πυκινῷ κρύφα ἐστήρικται
σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέϊ γαίων

Addit Simplicius.

Ἀρξαμένου δὲ πάλιν τοῦ νείκους ἐπικρατεῖν τότε πάλιν
κίνησις ἐν τῷ σφαίρῳ γίνεται.

ἴσ. πελε πάντα γὰρ ἑξείης πολεμίζετο γυῖα θεοῖο

Ex Aristotele

οὕτω γὰρ συνέκυρσε θέων τότε, πολλάκι δ᾽ ἄλλως.

Ex eodem.

— ὅπῃ συνέκυρσεν ἅπαντα

Ex eodem.

ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τύχε γαίης

Ex eodem

τῇ δὲ μὲν ἰότητι τύχης πεφρόνηκεν ἅπαντα

Ex eodem.

καὶ καθ᾽ ὅσον μὲν ἀραιότατα ξυνέκυρσε πεσόντα.

Ex eodem.

ἀλλὰ διέσπασαι μελέων φύσις, ἡ μὲν ἐν ἀνδρὸς

Ex Eodem.

ἐν δ' ἐχύθη καθαροῖσι, τὰ δὴ τελέθουσι γυναῖκες. γαλαροῖσι
ψύχεος ἀντιάσαντα —

Ex Eodem

αἰθὴρ δὴ μακροῖσι κατὰ χθόνα δύετο ῥίζαις

Ex Eodem.

— ταῦτα γὰρ ἶσά τε πάντα.

Ex Plutarcho

νυκτὸς ἐρημαίης ἀλαώπιδος —

Ex Eodem

νηστεῦσαι κακότητος —

Ex Eodem.

κορυφὰς ἑτέρας ἑτέρῃσι προσάπτων.
μύθων, μὴ τε λέγων ἀτραπὸν μίαν —

Ex Aristotele.

κύπριδος εὐπαλάμης πλάσιας τοιῆσδε τυχόντα.

Ex Diogene Laertio.

— κλῦθι κούρη Θεανοῦς Πυθαγόρεω τε.

Hierocles.

κάτεισι γὰρ καὶ ἀποπίπτει τῆς εὐδαίμονος χώρας ὁ
ἄνθρωπος, ὡς Ἐμπεδοκλῆς φησὶν ὁ Πυθαγόρειος
— φυγὰς θεόθεν καὶ ἀλήτης
νείκεϊ μαινομένῳ πίσυνος — ἄνεισι δὲ καὶ τὴν
ἀρχαίαν ἕξιν ἀπολαμβάνει

22/ εἰ φεύξει τὰ περὶ χθόνα, καὶ τὸν ἀτερπέα χῶραν, ὡς αὐτὸς λέγει.

Synesius περὶ προνοίης

ἔνθα φόνος τε κότος τε καὶ ἄλλων ἔθνεα κηρῶν εἰς οὓς οἱ ἐμπεσόντες
ἄτης ἂν λειμῶνά τε καὶ σκότος ἠλάσκουσιν

ἄτης ἐν λειμῶνι κατὰ σκότος ἠλάσκουσιν. Synes.

ἡ δ᾽ ἔφεσις τοῦ φεύγοντος τὸν τῆς ἄτης λειμῶνα, πρὸς
τὸν τῆς ἀληθείας ἐπείγεται λειμῶνα, ὃν ἀπολιπὼν
τῇ ὁρμῇ τῆς πτερορρυήσεως εἰς γήινον ἔρχεται σῶμα
ὀλβίου αἰῶνος * ἀμερθείς.

# Παρμενίδου.

## ἔπη

### Ex Sexto Empirico et Simplicio.

ἵπποι, ταί με φέρουσιν ὅσον τ' ἐπὶ θυμὸς ἱκάνει
πέμπον, ἐπεί μ' ἐς ὁδὸν βῆσαν πολύφημον ἄγουσαι
δαίμονος, ἣ κατὰ πάντ' ἄτη φέρει εἰδότα φῶτα,
τῇ φερόμην. τῇ γάρ με πολύφραστοι φέρον ἵπποι
ἅρμα τιταίνουσαι. κοῦραι δ' ὁδὸν ἡγεμόνευον.
ἄξων δ' ἐν χνοιῇσιν . . . . σύριγγος ἀυτήν.
αἰθόμενος. δοιοῖς γὰρ ἐπείγετο δινωτοῖσι
κύκλοις ἀμφοτέρωθεν, ὅτε σπερχοίατο πέμπειν
ἡλιάδες κοῦραι προλιποῦσαι δώματα νυκτὸς
εἰς φάος ὠσάμεναι κρατῶν ἀπὸ χερσὶ καλύπτρας
ἔνθα πύλαι νυκτός τε καὶ ἤματός εἰσι κελεύθων
καί σφας ὑπέρθυρον ἀμφὶς ἔχει καὶ λάινος οὐδός
αὐταὶ δ' αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις
τῶν δὲ δίκην πολύποινος ἔχει κληῖδας ἀμοιβούς. η
τὴν δὴ παρφάμεναι κοῦραι μαλακοῖσι λόγοισι.
πεῖσαν ἐπιφραδέως, ὥς σφιν βαλανωτὸν ὀχῆα
ἀπτερέως ὤσειε πυλέων ἄπο. ταὶ δὲ θυρέτρων
χάσμ' ἀχανὲς ποίησαν ἀναπτάμεναι, πολυχάλκους
ἄξονας ἐν σύριγξιν ἀμοιβαδὸν εἰλίξασαι
γόμφοις καὶ περόνῃσιν ἀρηρότα. τῇ ῥα δι' αὐτῶν
ἰθὺς ἔχον κοῦραι κατ' ἀμαξιτὸν ἅρμα καὶ ἵππους.

καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ
δεξιτερὴν ἕλεν. ὧδε δ' ἔπος φάτο, καί με προσηύδα.
ὦ κοῦρ' ἀθανάτοισι συνάορος ἡνιόχοισιν,
ἵπποις, ταί σε φέροισιν, ἱκάνων ἡμέτερον δῶ,
χαῖρ' ἐπεὶ οὔτι σε μοῖρα κακὴ προὔπεμπε νέεσθαι
τήνδ' ὁδόν. ἦ γὰρ ἀπ' ἀνθρώπων ἐκτὸς πάτου ἐστίν
ἀλλὰ θέμις τε δίκη τε. χρεὼ δέ σε πάντα πυθέσθαι
ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ
ἠδὲ βροτῶν δόξας, ταῖς οὐκ ἔνι πίστις ἀληθής
ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα,
μηδέ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω
νωμᾶν ἄσκοπον ὄμμα, καὶ ἠχήεσσαν ἔλεγχον
δ' ἔτι μῦθος. Simplic: ἐξ ἐμέθεν ῥηθέντα. μόνος δ' ἔτι θυμὸς ὁδοῖο
ἔστιν λείπεται, ὡς ἔστι. ταύτῃ δ' ἐπὶ σήματ' ἔασι
πολλὰ μάλ' ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν,
οὖλον, μουνογενές τε, καὶ ἀτρεμὲς, ἠδ' ἀτέλευτον.
οὐδέ ποτ' ἦν, οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν.
ἓν συνεχές. τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ;
πῇ πόθεν αὐξηθέν. οὔτ' ἐκ μὴ ὄντος ἐάσω
φάσθαι σ', οὐδὲ νοεῖν. οὐ γὰρ φατὸν οὐδὲ νοητὸν
ἔστιν, ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν καὶ χρέος ὦρσεν
ὕστερον, ἢ πρόσθεν τοῦ μηδενὸς ἀρξάμενον φῦν.
οὕτως, ἢ πάμπαν πελέμεν χρεών ἐστιν, ἢ οὐχί.

οὐδέ ποτ' ἐκ γε μὴ ὄντος ἐφήσει πίστιος ἰσχὺς
γίνεσθαί τι παρ' αὐτό, τοῦ εἵνεκεν οὔτε γενέσθαι
οὔτ' ὄλλυσθαι ἀνῆκε δίκη χαλάσασα πέδῃσιν,
ἀλλ' ἔχει. ἡ δὲ κρίσις περὶ τούτων ἐν τῷδ' ἐστίν.
ἔστιν ἢ οὐκ ἔστιν. κέκριται δ' οὖν, ὥσπερ ἀνάγκη,
τὴν μὲν ἐᾶν ἀνόητον ἀνώνυμον. οὐ γὰρ ἀληθὴς
ἔστιν ὁδός, τὴν δ' ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι.
πῶς δ' ἂν ἔπειτα πέλοιτο ἐόν, πῶς δ' ἄν κε γένοιτο.
εἴ γε γένοιτο οὐκ ἔστ' οὐδ' εἴ ποτε μέλλει ἔσεσθαι.
τὼς γένεσις μὲν ἀπέσβηται καὶ ἄπιστος ὄλεθρος.
οὐδὲ διαιρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστὶν ὁμοῖον.
οὐδέ τι τῇ μᾶλλον, τό κεν εἴργοι μιν συνέχεσθαι,
οὐδέ τι χειρότερον. πᾶν δὲ πλέον ἐστὶν ἐόντος.
τῷ συνεχὲς πᾶν ἐστίν. ἐὸν γὰρ ἐόντι πελάζει.
αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν
ἔστιν ἄναρχον, ἄπαυστον. ἐπεὶ γένεσις καὶ ὄλεθρος
τῆ δὲ μάλ' ἐπλάχθησαν. ἀπῶσε δὲ πίστις ἀληθής. τῆλε. Cant.
ταυτό τ' ὄν, ἐν ταυτῷ τε μένον, καθ' ἑαυτό τε κεῖται.
οὕτως ἔμπεδον αὖθι μένει. κρατερὴ γὰρ ἀνάγκη
πείρατος ἐν δεσμοῖσιν ἔχει τε μιν ἀμφὶς ἐέργει. ἐκεῖγε
οὕνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι
ἔστι γὰρ οὐκ ἐπιδευές. μὴ ὂν δ' ἂν παντὸς ἐδεῖτο
ταυτὸν δ' ἐστὶ νοεῖν καὶ οὕνεκεν ἐστὶ νόημα.
οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧ πεφατισμένον ἐστί
εὑρήσεις τὸ νοεῖν, οὐδ' εἰ χρόνος ἐστίν, ἢ ἔσται.

ἀλλ' παρὲξ τοῦ ἐόντος, ἐπεὶ τό γε μοῖρ' ἐπέδησεν
οὖλον ἀκίνητόν τ' ἔμεναι, τῷ ΠΑΝ ὄνομ' ἐστίν,
ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ.
γίνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχί
καὶ τόπον ἀλλάσσειν, διά τε χρόα φανὸν ἀμείβειν.
αὐτὰρ ἐπεὶ πεῖρας πύματον τετελεσμένον ἐστί.
πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ
μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον,
οὔτε γε βαιότερον πελάειν χρεὼν ἐστι τῇ, ἢ τῇ.
οὔτε γὰρ οὐκ ἐὸν ἐστί, τό κεν παύῃ μιν ἱκνεῖσθαι
εἰς ὁμόν. οὐδὲ ὂν ἐστιν, ὅπως εἴη κενὸν ὄντος
τῇ μᾶλλον, τῇ δ' ἧσσον, ἐπεὶ πᾶν ἐστὶν ἄσυλον.
ἢ γὰρ πάντοθεν ἶσον ὁμῶς ἐν πείρασι κυρεῖ.
ἐν τῷ σοι παύω πιστὸν λόγον, ἠδὲ νόημα
ἀμφὶς ἀληθείης. δόξας δ' ἀπὸ τοῦδε βαθείας
μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.
μορφὰς γὰρ κατέθεντο δύο γνώμαις ὀνομάζειν,
τῶν μίαν οὐ χρεών ἐστιν, ἐν ᾧ πεπλανημένοι εἰσίν,
ἀντία δ' ἐκρίναντο δέμας, καὶ σήματ' ἔθεντο
χωρὶς ἀπ' ἀλλήλων. τῇ μὲν φλογὸς αἰθέριον πῦρ
ἤπιον ὄν, μέγ' ἀραιόν, ἐλαφρόν, ἑωυτῷ πάντοσε τωὐτόν,
τῷ δ' ἑτέρῳ μὴ τωὐτόν. ἀτὰρ κἀκεῖνο κατ' αὐτό
νύκτ' ἀδαῆ. τἀντία νύκτα δαῆ δὲ πυκινὸν δέμας, ἐμβριθές τε.
τόν σοι ἐγὼ διὰ κόσμον ἐοικότα πάντα φατίζω.
ὡς οὐ μή ποτέ τίς σε βροτῶν γνώμη παρελάσσῃ

καὶ μετ' ὀλίγα.

αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται,
καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς
πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου 5
ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδέν.

μετ' ὀλίγα.

αἱ γὰρ στεινότεραι ποίηντο πυρὸς ἀκρίτοιο.
αἱ δ' ἐπὶ ταῖς νυκτός. μετὰ δὲ φλογὸς ἵεται αἶσα.
ἐν δὲ μέσῳ τούτων δαίμων, ἣ πάντα κυβερνᾷ.
πάντα γὰρ στυγεροῖο τόκου καὶ μίξιος ἀρχή
πέμπουσ' ἄρσενι θῆλυ μιγέν. τότ' ἐναντίον αὖθις
ἄρσεν θηλυτέρῳ —

Ex Proclo et Simplicio.

εἰ δ' ἄγε τῶν ἐρέω. κόμισαι δὲ σὺ μῦθον ἀκούσας 7a
αἵπερ ὁδοὶ μοῦναι διζήσιος εἰσὶ νοῆσαι.
ἡ μὲν ὅπως ἐστί τε καὶ ὡς οὐκ ἐστὶ μὴ εἶναι
πειθοῦς ἐστὶ κέλευθος. ἀληθείη γὰρ ὀπηδεῖ.
ἡ δ' ὡς οὐκ ἔστι τε, καὶ ὡς χρεών ἐστι μὴ εἶναι.
τὴν δή τοι φράζω παναπειθέα εἶναι ἀταρπόν.
οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ὄν. οὐ γὰρ ἐφικτόν. Simplic. ἀνυστόν
οὔτε φράσαις —

Ex Simplicio.

χρὴ τὸ λέγειν τὸ νοεῖν τὸ ὂν ἔμμεναι. ἔστι γὰρ εἶναι
μηδὲν δ' οὐκ εἶναι. τά δέ σε φράζεσθαι ἄνωγα
πρώτης γὰρ ταύτης διζήσιος εἶργε νόημα

εἴργω.

αὐτὰρ ἔπειτ' ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν πλάζονται δίκρανοι. ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσσιν ἰθύνει πλαγκτὸν νόον. οἱ δὲ φοροῦνται κωφοὶ ὁμῶς τυφλοί τε τεθηπότες ἄκριτα φῦλα, οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι ταὐτὸν νενόμισται κοὐ ταὐτόν πάντων δὲ παλίντροπός ἐστι κέλευθος.

Ex Plut. et Simplic.

πρώτιστον μὲν ἔρωτα θεῶν μητίσατο πάντων.

Ex Plutarcho.

αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο.

Ex Eodem.

νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς

Ex Platone.

x οὐ γὰρ μήποτε τοῦτ' οὐδαμῇ εἶναι μὴ ὄντα x
ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα.

Ex Galeno.

δεξιτεροῖσι μὲν κούρους, λαιοῖσι δὲ κούρας.

Ex Clem: Alex:

λεῦσσε δ' ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως.
οὐ γὰρ ἀποτμήξει τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι,
οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κόσμον,
οὔτε συνιστάμενον.

## Ex Eodem.

εἴσῃ δ' αἰθερίαν τε φύσιν, τά τ' ἐν αἰθέρι πάντα
σήματα, καὶ καθαρᾶς εὐαγέος ἠελίοιο
λαμπάδος ἔργ' ἀΐδηλα, καὶ ὁπόθεν ἐξεγένοντο
ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης,
καὶ φύσιν. εἰδήσεις δὲ καὶ οὐρανὸν ἀμφὶς ἔχοντα.
ἔνθεν ἔφυγε, καὶ ὥς μιν ἄγουσ' ἐπέδησεν ἀνάγκη
πείρατ' ἔχειν ἄστρων.—

## Ex Aristotele.

ὡς γὰρ ἕκαστος ἔχει κρᾶσιν μελέων πολυκάμπτων πολυγνάμπτων
τὼς νόος ἀνθρώποισι παρίσταται. αὐτὸ γὰρ αὐτό
ἐστιν, ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισι,
καὶ πᾶσι καὶ παντί. τὸ γὰρ πλέον ἐστὶ νόημα.

## Cœlius Aurelianus in Libris Χρονίων.

---

Femina virque simul Veneris cum germina miscent
Venis, informans diverso ex sanguine virtus
Temperiem servans bene condita corpora fingit.
Nam si virtutes permixto sanguine: Diræ
Nascentem gemino vexabunt semine sexum.

# Ὀρφέως ἔπη.

## Ex Lactantio.

πρωτόγονος Φαέθων, περιμήκεος ἠέρος υἱός

## Ex Eodem.

ἔκτισεν ἀθανάτοις δόμον ἄφθιτον —

## Ex Scholiaste Hesiodi.

εἰ δὲ γεωπονίης σε φιλαμβρότου ἵμερος αἱρεῖ,
καὶ γ᾽ ὅτι χρυσείης γενεῆς ἐκλαῦσαι ἔργα
γαῖαν ὅτι ζείδωρον δεῖ ἐν καμπεῖς ἄροζον
ἢ γύροις ἐνὶ κλήματα μεθυμναίου λελίησαι
κατθέμεναι, καὶ καρπὸν ὀπώρης εἶδαρ ἑλέσθαι
ἱμείρῃ σκαπάνῃσι λαχῆναι ἄμβροτον αἶαν:
αὐτίκα δή τοι πᾶσαν ἐπιστήμην καταλέξω.

## Ex Proclo.

θαύμαζον καθορῶντες ἐν αἰθέρι φέγγος ἄελπτον
τοῖον ἀπέστιλβε χροὸς ἀθανάτοιο Φάνητος

## Ex Eodem.

ποιμαίνων πραπίδεσσιν ἀνόμματον ὠκὺν ἔρωτα.

## Ex Chiliadibus Tzetzae.
### ἐν δωδεκαετηρίσι.

ἀστραίη κούρη δὲ πέλει πρὸς ἅπαντα φερίστη
, ἐναίσιμος, ἐν δὲ βόθροισι γς
σπέρματα, καὶ δὲ φύτοισιν

βάλλειν ἔρνεα πάντα, τά τε δρυὸς ἄγρια λέγονται.
οἴνας δ' ἐξαλέασθαι. ἐπεὶ στυγέει περὶ ἄλλα
Ἰκαρίου κούρη ληνοῖς καὶ ἀδευκέας οἴνας
μνωομένη ὅσα λυγρὰ Διωνύσσοιο ἕκητι
Ἀκταῖοι μήσαντο μέθῃ δεδμημένοι αἰνῇ
Ἰκάριον, καὶ μιν συφεταῖς κορμώνησι δαΐξαν
σφαλλόμενοι δάροισι χοροιμανέως Ἰάκχοιο.

Ex Eodem.

οὐδ' ἦν Ἰφίκλοιο θοώτερος ἀνδάζοιο,
ὅς τε καὶ ἀνθερίκεσσιν ἐπέτρεχεν, οὐδ' ἔτι καρπὸν
σίνετ' ἀήσυρα γυῖα φέρων ἐπὶ λήϊον αὖον.

Ex Clem: Alex:

ἀλλὰ σὺ μὴ μέλλαν βροτὲ ποικιλόμητε βραδύνως.
ἀλλὰ παλίμπλαγκτος στρέψας θεὸν ἱλάσκοιο

Ex Proclo

ἔνθ' οὖν ὠκεανὸς μὲν ἐνὶ μεγάροισιν ἔμιμνεν
ὁρμαίνων ποτέρωσε νόον τρέποι. ἢ πατέρα ὃν
γυιώσειε βίης καὶ ἀτάσθαλα λωβήσαιτο.
σὺν Κρόνῳ ἠδ' ἄλλοισιν ἀδελφοῖς, οἳ πεπίθοντο
μητρὶ φίλῃ. ἢ τούς γε λιπὼν μένοι ἔνδον ἕκηλος.
πολλὰ δὲ πορφύρων μένεν ἥμενος ἐν μεγάροισι
σκυζόμενος ᾗ μητρί, κασιγνήτοισι δὲ μᾶλλον.

Ex Justino.

Νηρέα μὲν πρώτιστα καλῶν πρώτιστον ἁπάντων

Ex Proclo.

Θῆλυς καὶ γενέτωρ κρατερὸς θεὸς Ἠρικεπαῖος

Ex Eodem.

— ἀρετῆς γ᾽ ὄνομ᾽ ἐσθλὸν κλήζεται —

Ex Eodem.

ἔνθα Κρόνος μὲν ἔπειτα φαγὼν δολόεσσαν ἐδωδὴν

κεῖτο μέγα ῥέγχων —

Ex Clem: Alex:

οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης

χώρῳ ἐν οἰοπόλῳ, ὅθ᾽ ἅλις ἀναβέβρυχεν ὕδωρ τὸ δ᾽

καλὸν τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι

παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ.

ἐλθὼν δ᾽ ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ

βόθρου τ᾽ ἐξέστρεψε καὶ ἐξετάνυσσ᾽ ἐπὶ γαίῃ.

Ex Proclo.

— πατὴρ ποίησε κατὰ σπέος ἠεροειδές.

Ex Georgio Cedreno.

Θῆρές τ᾽ οἰωνοί τε βροτῶν τ᾽ ἀλιτώσια φῦλα.

ἄχθεα γῆς εἴδωλα τετυγμένα......

ἀμήχανοι οὐδὲν ἐπιστάμενοι φράσσασθαι ἐρχομένοιο νοῆσαι

εἰδότες, οὔτε κακοῖο προσερχομένου ἀποστρέψαι κακότητος

ἀφράδμονες ἔμπεινον ...

οὐδ᾽ ἀγαθοῦ παρεόντος ἐπισκέψαι τε καὶ ἕρξαι
ἀλλὰ μάτην . . . . . . ἀδαήμονες ἀπρονόητα

Ex Proclo in Cratylum

ἡ δ᾽ ἄρα ἑκάτη παιδὸς μέλη αὐθι λιποῦσα
λητοῦς εὐπλοκάμοιο κόρη προσεβήσατ᾽ ὄλυμπον

Ex Schol: Apollonii.

καὶ τότε δὴ ἑκάτην δηὼ τέκεν εὐπατέρειαν

Ex Symp: Plut:

ἶσόν τοι κυάμους ἔσθειν κεφαλάς τε τοκήων.

Ex Simplicio.

τοῖον ἑλὼν διένειμε θεοῖς θνητοῖσί τε κόσμον

Ex Eodem.

οὐδέ τι πεῖρας ἔην, οὐ πυθμήν, οὐδέ τις ἕδρα.

Ex Proclo

τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο λητώ.

Ex Eodem.

ὄφρ᾽ ἐν μηνὶ βέβη ὅπερ ἥλιος εἰς ἐνιαυτόν

Ex Eodem

οὗ καὶ τὸ σκῆπτρον πισύρων τε καὶ εἴκοσι μέτρων

Ex Eodem.

ἦν τε καὶ ἦν βρόμιος τε μέγας καὶ Ζεὺς ὁ πανόπτης

Ex Eodem.

ἔσι γένοι ῥείη παῖδα Κρόνῳ ἐν φιλότητι.

Ex Eodem.

κριοῦ, ταυρείους, ὄφιος, χαροποῦ τε λέοντος.

Ex Eodem.

ἡ δὲ πάλιν γαῖάν τε καὶ οὐρανὸν εὐρὺν ἔτικτεν

Ex Eodem.

κεύθω ἀποσπέρχων σαυτόν, φωτὸς κελάδοντος

Ex Eodem.

καίπερ ἐόντι νέῳ, καὶ νηπιάῳ εὐλαπίναστῃ

Ex Eodem

χαίται μὲν γὰρ ἐς ὀξὺ πεφυκότι φωτὶ βλέποντι

Ex Mercurio Trismegisto.

τῷ λαμπρῷ βλέπομεν, τοῖς δ' ὄμμασιν οὐδὲν ὁρῶμεν

Ex Proclo.

δαίει οἱ ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ

# Hesiodi reliquiae

## Ex Eustathio Ἰλιάδος Σ

οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν.
ὃν δή ὅσοι βροτοί εἰσιν ἀοιδοί καὶ κιθαρισταὶ
πάντες μὲν θρηνοῦσιν ἐν *ελαπίναις ἠδὲ χοροῖσιν. — τε χοροῖς τε
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσι.

## Ex Scholiaste Apollonii

δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν
Νέστωρ τε Χρόμιός τε, Περικλύμενός τ' ἀγέρωχος
ὄλβιος, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'. ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκεν
Αἰετὸς. ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ. ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα.
ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος. εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε
βουλῇ Ἀθηναίης —

## Ex Pausania

Ὕηττος δὲ Μόλυρον Ἀρίσβαντος φίλον υἱὸν
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο
οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο.
ἷξεν δ' Ὀρχομενὸν Μινυήϊον. καί μιν ὅ γ' ἥρως
δέξατο, καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές.

Ex Eodem.

Φύλας δ' ὤπυιε κούρην κλειτοῦ Ἰολάου
Λειπεφίλην· ἣν δ' εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη.
ἣ δέ οἱ . . . . . γὸν ἐνὶ μεγάροισιν ἔτικτεν,
Θηρώ τ' εὐειδῆ ἰκέλην φάεσσι σελήνης.
Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο.

Ex Athenaeo. ἐν τῷ δευτέρῳ μελαμποδίας

— τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου.
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι.

Ex Eodem.

καὶ τότε μάντις μὲν δεσμὸν βοὸς ἥνυτο χερσίν
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο. τῷ δ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας
ἔστηκεν Φύλακος, καὶ ἐνὶ δμώεσσιν ἔειπεν.

Ex Stephano. ἐν καταλόγῳ

κτεῖνεν Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς
ἕνδεκα. δωδέκατος δὲ γερήνιος ἱππότα Νέστωρ
ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοιο γερήνου.

Ex Eodem.

Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι γερήνῳ

Apud Eundem. ἐν Αἰγι... δευτέρῳ περὶ Ἰοῦς

—— νήσῳ ἐν Ἀβαντίδι δίῃ.

τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ ὠνόμασε Ζεύς.

Ex Scholiaste Pindari et Lycophron.

ἐν τῇ ἡρωϊκῇ γενεαλογίᾳ

Ἕλληνος δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες

Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης.

Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες

Κρηθεύς, ἠδ' Ἀθάμας, καὶ Σίσυφος αἰολομήτης,

Σαλμωνεύς τ' ἄδικος, καὶ ὑπέρθυμος Περιήρης

Ex Scholiaste Pindari.

τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς

Πυθὼ ἐς ἠγαθέην. καί ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα

Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς γῆμε Κόρωνιν

Εἰλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα

Ex Eodem

τὴν δ' Ἀμαρυγκείδης ἱππόστρατος ὄζος ἄρηος

Φυκτέος ἀγλαὸς υἱὸς Ἐπειῶν ὄρχαμος ἀνδρῶν

Ex Eodem Scholiaste Lycophronis ἐν Αἰγιμ

ἡ δ' ὑποκυσσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην

αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον

μοῦνος ἐὼν ἤχαλλε πατὴρ ἀνδρῶν τε θεῶν τε.
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας,
οἳ δή τοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας.
πρῶτοι δ' ἱστία θέντο νεὼς πτερὰ ποντοπόροιο.

Ex Scholiaste Pindari.

ἦ τοι ὁ μὲν Σῆρον καὶ Ἀλάζονον υἱέας ἐσθλούς.

Ex Athenagora.

—— πατὴρ ἀνδρῶν τε θεῶν τε
χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
ἔκτανε Λητοΐδην, φίλον σὺν θυμὸν ὀρίνων.

Ex Eustathio.

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο
Περσέπολιν, μιχθεῖσα διὰ χρυσῆν Ἀφροδίτην

Ex Scholiaste Pindari.

ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή
αὐτὸν μὲν σχέσθαι. κρύψαι δ' ἀδόκητον μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις.
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκώοισι δαμείη.

## Ex Strabone.

καὶ κούρην Ἀράβοιο, τὴν Ἑρμάων ἀκάκητα
γείνατο, καὶ Θρονίη κούρη Βήλοιο ἄνακτος.

## Ex Eodem.

υἱεῖς ἐξεγένοντο Λυκάονος ἀντιθέοιο,
ὅν ποτε τίκτε Πελασγός.

## Ex Eodem.

ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,
τούς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς
λεκτοὺς γαίης λαοὺς πόρε Δευκαλίωνος.

## Ex Scholiaste Sophoclis.

ἔστι τις Ἑλλοπίη πολυλήιος ἠδ' εὐλείμων
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν.
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται
πολλοὶ ἀπειρέσιοι φῦλα θνητῶν ἀνθρώπων
ἔνθα γε Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται
τὴν δὲ Ζεὺς ἐφίλησε, καὶ ὃν χρηστήριον εἶναι
τίμιον ἀνθρώποις. ναῖον δ' ἐνὶ πυθμένι φηγοῦ.
ἔνθεν ἐπιχθόνιοι μαντεύματα πάντα φέρονται.
ὡς δή κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ αν
δῶρα φέρων ἔλθησι σὺν οἰωνοῖς ἀγαθοῖσι.

Ex Eodem.

ἣ γείνεθ' Ἑρμιόνην δουρικλυτῷ μενελάῳ
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον ὄζον ἄρηος.

Ex Suida.

ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσι.

Ex Strabone.

ᾤκει δ' ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθαις
εὐρεῖος πείροιο.—

Ex Scholiaste Sophoclis.

ἡ δ' ὑποκυσσαμένη καλλίζωνος Στρατονίκη
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν.
τοῦ δ' υἱεῖς ἐγένοντο Δηίων τε Κλύτιός τε
Τοξεύς τ' ἀντίθεος, ἠδ' Ἴφιτος ὄζος ἄρηος
η τοὺς δὲ μεθ' ὁπλοτάτην τέκετο ξανθὸν Ἰόλαον
Ἀντιόχη κρείουσα παλαιὸν γένος Ναυβολίδαο.

Ex Suida et Polybio Lib: v.

Αἰακίδας πολέμῳ κεχαρηότας ἠΰτε δαιτί.

Ex Scholiaste Lycophronis.

εἰ θέμις εἴη. Ζεῦ πάτερ εἴθε μοι εἴθ' ἥσσω μ' αἰῶνα βίοιο

ἥσσω

ὤφελες + δοῦναι καὶ ἴσα μηδ' εἰδ' ἴδμεν — εἴθ' ὄφελες ι / πωία

θνητοῖς ἀνθρώποις. νῦν δ' οὐδ' ἐμε τυτθὸν ἔτισας,

ὅς με μακρόν γε ἔθηκας ἔχειν αἰῶνα βίοιο.

ἑπτὰ μ' ἔτη ζώειν μερόπων ἀνθρώπων.

Ex Scholiaste Arati et Hesiodi

Φαισύλη, ἠδὲ Κορωνὶς, ἐϋστέφανός τε Κλέεια

Φαιώθ' ἱμερόεσσα, καὶ Εὐδώρη τανύπεπλος,

ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

Ex Athenaeo

τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας —

Ex eodem

Χειμέριαι δύνουσι Πελειάδες —

Ex Strabone

ἐξ ὧν οὔρειαι νύμφαι θεαὶ ἐξεγένοντο,

καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοέργων,

Κουρῆτές τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες.

Ex Scholiaste Lycophronis

Τρὶς μάκαρ Αἰακίδη, καὶ τετράκις ὄλβιε Πηλεῦ,

ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις.

Ex Eustathio

ὦ τέκνον, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον

Ζεὺς ἐτέκνωσε πατὴρ —

## Eustathius.

Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον. Aliter Strabo

## Ex Athenaeo.

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηναίων ἱεράων

## Ex Eustathio Iliad. β

ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν, οὐδὲ κατέκλα
ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάασκε πόδεσσι.

## Ex Athenaeo.

——— καὶ οὐ σιτόκεστο καρπόν.

## Ex Strabone

θαῦμά μ' ἔχει κατὰ θυμόν, ὅσους ἐρινεὸς ὀλύνθους
οὗτος ἔχει μικρός περ ἐὼν εἴποις ἂν ἀριθμόν.

## Responsio ex eodem

μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος
εἷς δὲ περισσεύει, τὸν ἐπελθέμεν οὐκ ἐδύναο.
ὣς φάτο καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου
καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψε

## Ex Scholiaste Pindari.

Αἴσων, ὃς γένεθ' υἱὸν Ἰάσονα ποιμένα λαῶν,
ὃν Χείρων θρέψεν ἐνὶ Πηλίῳ ὑλήεντι.

Ex Plutarcho in Theseo.

δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης

τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησὶν Ἡρέας ὁ Μεγαρεύς

Ex Eustathio. Ἰλιάδ. β

ἐν δίῃ ὑρίῃ βοιωτίῃ ἔτρεφε κούρην.

Ex Etymologico.

— πάντες γὰρ τριχάϊκες καλέονται
οὕνεκα τρισσὴν γαῖαν ἑκὰς πάτρης ἐκάσαντο. ἐδά

Eustath. Ἰλιάδ. β.

καὶ ὅπου δὲ τὸν παρὰ τοῖς ἄλλοις Οἰλέα τετρασυλλάβως καλούμενον, Ἰλέα τρισυλλάβως αὐτὸς λέγειν ἐθέλων. φησὶν οὕτως αὐτὸν κληθῆναι,

— οὕνεκα νύμφην
εὑράμενος ἵλεων μίχθη ἐρατῇ φιλότητι.

Plutarchus περὶ τῶν ἐκλειπ. χρησ.

— αἵ τ' ἄλσεα καλὰ νέμονται,
καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.

ἐκ τῶν Ἠοίων. Schol. Pindari

ἢ οἵη Φθίῃ Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

Ibidem ἐκ τῶν Ἠοίων.

ἢ οἵη Ὑρίη πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον γαιηόχῳ Ἐννοσιγαίῳ.

μιχθεὶς ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης

ἐκ τῶν Ἠοίων. Athenæus.

οἷα Διόνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος,
ὅστις ἀδὴν πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει, γλῶσσαν νόον τε
θεσμοῖς ἀφράστοισι, φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος

ἐκ τῶν Ἠοίων Strabo.

ἢ οἵη διδύμους ἱεροὺς ναίουσα κολωνοὺς
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἄντ' Ἀμύροιο
β νίψατο Φοιβιάδος λίμνης πόδα παρθένος ἀδμής

Ex Eustathio.

καὶ γάρ σφιν κεφαλῇσι κατὰ κρύος αἰνὸν ἔχευεν
κατέσχεθεν. ἐκ. ἀλφὸς γὰρ χρόα πάντα κατέσχεν ἐν δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα

Ex Clem: Alex:

μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,
ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο.

Ex Plutarcho.

ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη
ἀνδρῶν ἡβώντων, ἔλαφος δέ τε τετρακόρωνος

τρεῖς δ' ἐλάφοις ὁ κόραξ γηράσκεται. αὐτὰρ ὁ φοίνιξ
ἐννέα τοὺς κόρακας. δέκα δ' ἡμεῖς τοὺς φοίνικας
νύμφαι ἐϋπλόκαμοι κοῦραι Διὸς αἰγιόχοιο.

Ex Etymologico.

ὅ, τι μὲ χερσὶ λάβεσκεν ἀείδελα. πάντα τίθεσκεν.

Ex Athenaeo.

ἡδὺ γάρ ἐστ' ἐν δαιτὶ, καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται.

Ex Clemente Alexandrino.

Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα τιθεῖσι
θέσπελον αὐδήεντα.

Ex Pindari Scholiaste
ἐν ὑποθήκαις.

εὔνυμοι γὰρ δ' ἕκαστα μετ' ἄλλα ἀειγενέτῃσι

Ex Scholiaste Lycophron.

οἵην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνήρ.
τὰς δέκα δ' ἐμπίμπλησι γυνὴ τέρπουσα νόημα

Ex Strabone.

ὅς παρὰ Πανοπίδα ..... γλήχωνά τ' ἐρυμνήν
καὶ δὲ δι' Ὀρχομενοῦ εἰλιγμένος εἶσι, δράκων ὥς

Ex eodem

γλακτοφάγων εἰς αἶαν ἀπήναις οἰκί' ἐχόντων

Ex Eustathio.

ὅστε Λιλαίηθεν προχέει καλλίρροον ὕδωρ.

Ex Scholiaste Apollonii

αὐτὸς δ' ἐν πλήσμησι διιπετέος ποταμοῖο.

Ex Strabone

Αἰθίοπας, Λίγυας γ' ἠδὲ Σκύθας ἱππημολγοὺς

Ex Scholiaste Pindari

ἐν Δήλῳ τότε πρῶτος, ἐγὼ καὶ ὅμηρος ἀοιδοὶ
μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδὴν
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε λητώ.

Porphyrius in Antro ϖ.

ὥς κε πόλις ῥέζῃσι νόμος δ' ἀρχαῖος ἄριστος

Ex Clemente Alexandrino.

αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν
ἀθανάτων. σοὶ δ' οὔτις ἐρήρισαι κράτος ἄλλος

Ex Eodem.

ἡδὺ δὲ καὶ τὸ πυθέσθαι ὅσα θνητοῖσιν ἔδειμαν
ἀθάνατοι δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές

Ex Strabone

Δωδώνην φηγόν τε Πελασγῶν ἕδρανον ἦεν.

Ex Etymologico

βύβλον γ' ἀχίλων, καὶ οἰδῶν' ἀνθεμόεσσαν

37